Δωρίδος ὅρμον αἴας;
ἢ Φθιάδος, ἔνθα τὸν
καλλίστων ὑδάτων πατέρα
φασὶν Ἀπιδανὸν γύας λιπαίνειν;

ἢ νάσων, ἁλιήρει Ant. 1.
κώπᾳ πεμπομέναν τάλαι-
ναν, οἰκτρὰν βιοτὰν ἔχουσαν οἴκοις,
ἔνθα πρωτόγονός τε φοῖ-
νιξ δάφνα θ' ἱεροὺς ἀνέσ-
χε πτόρθους Λατοῖ φίλᾳ ὠ-
δῖνος ἄγαλμα Δίας;
σὺν Δηλιάσιν τε κού-
ραισιν Ἀρτέμιδος θεᾶς
χρυσέαν ἄμπυκα τόξα τ' εὐλογήσω;

Ἦ Παλλάδος ἐν πόλει Str. 2.
τᾶς καλλιδίφρου θεᾶς
ναίουσ' ἐν κροκέῳ πέπλῳ
ζεύξομαι ἆρα πώλους ἐν
δαιδαλέαισι ποικίλλουσ'
ἀνθοκρόκοισι πήναις, ἢ
Τιτάνων γενεὰν
τὰν Ζεὺς ἀμφιπύρῳ κοιμί-
ζει φλογμῷ Κρονίδας;
Ὦ μοι τεκέων ἐμῶν, Ant. 2.
ὦ μοι πατέρων χθονός θ',
ἃ καπνῷ κατερείπεται
τυφομένα, δορίκτητος

451 τὸν MVL : τῶν BAP ‖ 454 γύας Hermann : πεδία ‖ 463 κούραισιν MAVL : -ραις BP ‖ 464 θεᾶς L : τε θεᾶς ‖ 465 χρυσέαν τ' L ‖ 467 τὰς $M^2$ pro τᾶς vel τῆς ‖ καλλιδίφρους M uel $M^2$ ‖ 467-8 θεᾶς ναίουσ' Nauck: Ἀθαναίας (uel Ἀθη-) ‖ 469 ἆρα M : ἅρματα V ἅρματι ABνLP ‖ ἐν om. L ‖ 470 δαιδαλέαισι MA : -έοισι B -αίαισι $V^2$ (-αίαις V) -έῃσι LP ‖ 475 om. A ‖ 477 καπνῷ om. V.